www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν ὅσιον Ἱερώνυμον

Ἦχος πλ.δ'

Ἅγιον Ὅρος

2018

# Ἕτερος εἰς τὸν ὅσιον Ἱερώνυμον, οὗ ἡ ἀκροστιχίς «Ὑμνητῶν σῶν ὅσιε λιτὰς δέχου», ἐν δὲ τοῖς Θεοτοκίοις «Ἱλαρίων Μ.» Ἦχος πλ.δ΄.

*Ὠιδὴ Α΄ Ἁρματηλάτην Φαραώ.*

Ὑμνολογίαις ἱεραῖς παράσχου μοι, Θεὲ Πατέρων τῷ σῷ, ταπεινῷ ἱκέτῃ, χάριν ἐξαιτήσασθαι, παρὰ τοῦ σοῦ θεράποντος, θαυμαστοῦ ἐν ὁσίοις, Ἱερωνύμου τοῦ μάκαρος, λύσιν τῶν δεινῶν περιστάσεων.

Μισήσας κόσμον καὶ σαρκὸς εὐπάθειαν, πρὸς ἀοράτων ἐχθρῶν, συμπλοκὰς θεόφρον, ἀπεδύσω ὅσιε, καὶ πρὸς Χριστοῦ ἀπείληφας, τοῦ παρέχειν τοῖς πίστει, καὶ πόθῳ ῥύσιν προστρέχουσι, πειρασμῶν παντοίων καὶ θλίψεων.

Ναμάτων μάκαρ τῆς σοφίας ἔμπλεως, τῆς τοῦ Θεοῦ σὺ ὀφθείς, τῶν κεχερσωμένων, τὰς ἀρούρας ἤρδευσας, ψυχῶν καὶ τῷ Δεσπότῃ σου, ἱκετεύων μὴ παύσῃ, διὰ παντὸς Ἱερώνυμε, Ὅσιε σωθῆναι τὸν δοῦλόν σου.

*Θεοτοκίον.*

Ἱλαρωτάτης ἐκ καρδίας Πάναγνε, προσδεχομένη ἐσμόν, τουτωνὶ λογίων τοῦ οἰκτροῦ ἱκέτου σου, τὸν σὸν Υἱὸν ἱκέτευε, σὺν Ὁσίῳ τῷ πάνω, Ἱερωνύμῳ ῥυσθῆναί με, νόσων τῆς ψυχῆς καὶ τοῦ σώματος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ Γ´ Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Ἥλιος λάμπων ταῖς αὐγαῖς, τῶν θεοπνεύστων σου λόγων, τῶν αἱρέσεων τὸ σκότος τρισμάκαρ, διαλύσας καὶ φωτί, σῶν πρεσβειῶν καταύγασον, ἀμαυρωθεῖσας Πάτερ, ψυχῆς μου κόρας τοῖς πάθεσι.

Τὴν παναθλίαν μου ψυχήν, τῆς ἁμαρτίας τῷ βόθρῳ, ἐμπεσοῦσαν Ἱερώνυμε ὅθεν, εὐπροσδέκτοις σου εὐχαῖς, Χριστὸν δυσώπει ἅγιε, κἀμὲ πρὸς μετανοίας, τρίβον εὐθεῖναι καὶ σῶσαί με.

Ὡραϊσμένον ἀρεταῖς, εὑρὼν τὸν οἶκον παμμάκαρ, τῆς ψυχῆς σου ὁ τῶν ὅλων Δεσπότης, καὶ μονὴν ἐν σοὶ σαφῶς, πανόλβιε πεποίηκεν, ὁ πρὸ αἰώνων Λόγος, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι.

*Θεοτοκίον.*

Λιμένα ἔδειξας τὸ σόν, τῆς Ἁγιότητος Ὄρος, ταῖς ψυχαῖς τῶν κατ᾽ ἐμὲ Παναγία, ναυαγούντων σωστικόν, καὶ εὐανθεῖ Παράδεισον, τοῦ κατ᾽ Ἐδὲμ Παρθένε, ἄλλον ἐκείνου ἐφάμιλλον.

*Ὠιδὴ Δ´ Εἰσακήκοα Κύριε.*

Νυσταγμῷ περιέπεσον, τῷ τῆς ἀμελείας καὶ κινδυνεύοντα, Ἱερώνυμε πανόσιε, πρὸς μετάνοιάν με χειραγώγησον.

Σὺ θεράπων γενόμενος, γνήσιος τοῦ κτίστου καὶ ἐγκαλώπισμα, ἀσκητῶν κἀμὲ νῦν ὅσιε, ἐξελοῦ εὐχαῖς σου περιστάσεων.

Ὡς ἐν σκότει καθεύδοντα, τῷ τῆς ἁμαρτίας πρόφθασον ὅσιε, καὶ Χριστῷ με προσωκείωσον, ταῖς εὐχαῖς σου τοῦτον ἱλεούμενος.

*Θεοτοκίον.*

Ἀπογνώσεως ἄρκυσι, ἐμπλακέντα Κόρη τοῦ πολεμήτορος, ἐλευθέρωσον τὸν δείλαιον, ὅπως ᾄδω πόθῳ τὰ ἐλέη σου.

*Ὠιδὴ Ε΄ Ἵνα τί με ἀπώσω.*

Νοσημάτων ψυχῶν τε, καὶ σωμάτων ἔγνωκα Πάτερ θεσπέσιε, ταχὺν ἐλατῆρα, ὅθεν πίστει πρὸς σὲ νῦν προσφεύγοντα, κατ' ἄμφω νοσοῦντα, ἱκεσιῶν σου τῇ μοττώσει, Ἱερώνυμε θᾶττον ἐπίσκεψαι.

Ὁμαλῶν μοι παράσχου, τὸν τοῦ βίου δίαυλον ἀνύσαι ὅσιε, Πάτερ ἱεραῖς σου, καὶ ἁγίαις πρεσβείαις πρὸς Κύριον, καὶ τὴν τῆς ἐξόδου, τὴν μνήμην πάντοτε ἀντέχειν, ἁμαρτίας κημόν μοι δωρούμενος.

Σελασφόρως ἐδείχθης, ὡς ἀστὴρ ὁσίων ἐν χοροῖς ἀοίδιμε, ἀρεταῖς ἐκλάμπων, καὶ αὐχήσει σοφίας τῆς κρείττονος, καὶ τῶν σῶν ἀνυμνούντων, καὶ φερωνύμων σου

τρισμάκαρ, πρὸς Χριστὸν πρεσβευτὴς ἑτοιμότατος.

*Θεοτοκίον.*

Ῥύπον ὅλως μὴ σχοῦσα, τέτοκας τῷ κόσμῳ Παρθένε τὴν λύτρωσιν, τῷ τὸ σὸν οἰκοῦντι, ἁγιώνυμον Ὄρος ἐκλύτρωσαι, πειρασμῶν καὶ τρίβον, πρὸς μετανοίας ἴθυνόν με, Μαριὰμ Παναμώμητε δούλῳ σου.

*Ὠιδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.*

Ἰλλαίνοντα τῆς ψυχῆς, τῇ διαθέσει καὶ ῥέποντα, πρὸς ἁμαρτίας κρημνόν, σοφὲ Ἱερώνυμε, ταῖς εὐχαῖς σου ἅγιε, τῷ Κυρίῳ Πάτερ, σωφρονοῦντά με παράστησον.

Ἐπάκουσον τῶν ἐμῶν, οἰκτρῶν ῥημάτων καὶ ἴδε μου, τὴν κάκωσιν τῆς ψυχῆς, εὐσπλάγχνως καὶ σώματος, καὶ Χριστὸν δυσώπησον, παρασχεῖν μοι Πάτερ, τὴν ὑγείαν Ἱερώνυμε.

Λυθέντων τῶν σκιερῶν, ἡμῖν ἡ χάρις ἐξέλαμψε, καὶ πάντες πανευσεβῶς, ὑμνεῖν μεμαθήκαμεν, Πατέρα προάναρχον, σὺν Υἱῷ καὶ Πνεῦμα, τὸ πανάγιον καὶ σύνθρονον.

*Θεοτοκίον.*

Ἱλάρυνόν μου τὸν νοῦν, τῇ μεσιτείᾳ σου Ἄχραντε, καὶ καρποφόρον καλῶν, καὶ θείων



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀνάδειξον, καὶ εὐχαῖς Ὁσίων τε, πάντων τῶν τοῦ Ὄρους, τοῦ Ἁγίου Μητροπάρθενε.

*Ὠιδὴ Ζ΄ Θεοῦ συγκατάβασιν.*

Ἰδεῖν κατηξίωσαι, Θεοῦ τοῦ ζῶντος πόλιν τὴν ἄνω σαφῶς, θεοφόρε Πατέρων, τὸ κλέος Πάτερ καὶ ἀσκητῶν ἡ κρηπίς, ἀμβλυωποῦντα δεινῶς, σθένωσον ὅσιε.

Τὰ πλήθη νοούμενος, τῶν πεπραγμένων μοι ὁ ἀχρεῖος δεινῶν, τῇ τοῦ σοῦ καταφεύγω, ὁσίου Λόγε Ἱερωνύμου θερμῇ, πρεσβείᾳ ὅθεν ἀξίωσον ψάλλειν σοι, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀξίνην ἀκήκοας, τῇ πρὸς τὴν ῥίζαν ψυχὴ ἀθλία σαφῶς, τῶν ἀκάρπων κειμένῃ, δένδρων τομὴν ἀπειλοῦσαν ἀθρόαν ἡμῖν, τῷ πανοικτίρμονι βόησον λέγουσα, ἵλαθι Σῶτερ κἀμοί, τοῦ σοῦ ὁσίου εὐχαῖς.

*Θεοτοκίον.*

Ὡράθης Πανύμνητε, καθυπερτέρα τῶν οὐρανίων νοῶν, ὡς τεκοῦσα ἐν χρόνῳ, τὸν Θεὸν Λόγον εἰς σωτηρίαν βροτῶν, ὅθεν σε πίστει καὶ πόθῳ νῦν ψάλλομεν, εὐλογημένη εἶ σύ, ἐν γυναιξὶν ἀληθῶς.

*Ὠιδὴ Η΄ Ἑπταπλασίως κάμινον.*

Συνωνυμοῦντος πρόσδεξαι, τὰς λιτὰς παμφαέστατε, θεοφόρε Πάτερ κλεινὲ Ἱερώνυμε, καὶ ταύτας προσάγαγε, τῷ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

φιλοψύχῳ Δημιουργῷ, δίκην τῶν λεπτῶν, τῆς τῶν χηρῶν πενεστάτης, τὴν χάριν ἐξαιτῶν μοι, ἀνυμνεῖν ἐπαξίως, τὸν πλάστην καὶ Θεόν μου, εἰς πάντας τοὺς αἰῶνας.

Διολισθαίνων ἅγιε, ἐπηρείαις τοῦ δράκοντος, τῆς παρακοῆς, γὰρ εἰς βυθὸν καθέλκει με, σπουδάζων εἰς τέλος με, τῇ ἀπογνώσει καταλαβεῖν, τοῦτον τῷ πυρί, σῶν προσευχῶν ἀποσόβει, φωτίζων με ἐκκόπτειν, θελημάτων τὰ ἄγη, καὶ ἐλαφρὸν ἀντέχειν, ζυγὸν Χριστοῦ τὸν θεῖον.

Ἐπὶ τῆς γῆς ἐβίωσας, ὥς τις ἄσαρκος ὅσιε, τῶν Ἀγγέλων τὸν βίον, ἐμιμήσω πάνσοφε, Τριάδα τὴν ἄκτιστον, τρανῶς ἐθεολόγησας, ψάλλων γεγηθῶς, σὺν Γρηγορίῳ τῷ πάνυ, ὑμνῶ Πατέρα Λόγον, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν μίαν θεαρχίαν, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Νενεκρωμένην Δέσποινα, τὴν ψυχήν μου ἀνάστησον, τοῖς τοῦ δολομήτου, βροτοκτόνοις βέλεσι, ἐν τῷδε τῷ Ὄρει σου, λαχόντι κλῆσιν τὴν ἱεράν, σὺ γὰρ τοῖς αὐτῷ, σεμνῶς βιοῦσι Παρθένε, τῶν πάντων χορηγία, καὶ ψυχῶν σωτηρία, ἐδείχθης Παναγία, ὡς Βασιλὶς τοῦ κόσμου.

*Ὠιδὴ Θ΄ Ἐξέστη ἐπὶ τούτῳ.*

Χειλέων ἐξ ἀνάγνων καὶ ῥυπαρῶν, τὴν ᾠδήν σοι προσάγων μακάριε, ταῖς σαῖς εὐχαῖς, θείας παρακλήσεως ἐντυχεῖν, Χριστὸν τὸν πανοικτίρμονα, ἐκδυσώπει ὅσιε καὶ δεινῶν, ῥυσθῆναι νοσημάτων, τοῦ σώματος ἅμα, καὶ τῆς ψυχῆς μου Ἱερώνυμε.

Ὁ βίον διανύσας ἀγγελικόν, ἐπὶ γῆς, καὶ χοροῖς συγγινόμενος, ἐν οὐρανοῖς, θείων Ἀποστόλων καὶ Προφητῶν, Ἱεραρχῶν Ὁσίων τε, καὶ Μαρτύρων ἅμα τὸν ἀγαθόν, Θεὸν καθικετεύων, μὴ παύσῃ θεοφόρε, σωτηριώδους τυχεῖν τέλους με.

Ὑμνῶ Τριάδα πίστει μοναδικήν, καὶ Μονάδα τρισὶν ὑποστάσεσι, θεαρχικαῖς, Ἄναρχον Πατέρα καὶ σὺν αὐτῷ, τὸν Λόγον τὸν συνάναρχον, καὶ Πνεῦμα τὸ θεῖον καὶ συμφυές, Θεότητι Μονάδα προσώποις τε Τριάδα, κτισμάτων οὖσαν ὑπερέκεινα.

*Θεοτοκίον.*

Μονάζων ἐκ νεότητος ὁ δεινός, ἐν τῷ Ὄρει τοῦ Ἄθωνος Πάναγνε, κλήρῳ τῷ σῷ, γέλως κατεστάθην τῶν πονηρῶν, δαιμόνων καὶ ἐπίχαρμα, σὺ οὖν ὡς τεκοῦσα τὸν Λυτρωτήν, αὐτὸν μὴ διαλείπῃς, πρεσβεύουσα ῥυσθῆναι, τῆς αἰωνίου κατακρίσεως.

*Μεγαλυνάριον.*

Ἐμίσησας κόσμον καὶ τῆς σαρκός, πάθη καὶ δαιμόνων, κατεσύντριψας μηχανάς,

μετανοίας τρίβον μοι, βαίνειν ταῖς εὐχαῖς σου, παράσχου ἀξιάγαστε Ἱερώνυμε.

*Ἀπολυτίκιον ἦχος α΄.*

Σοφίας τῆς ἄνω κατεπλούτισας Ὅσιε, τῶν αἱρετιζόντων ἐδείχθης Ἱερώνυμε θέριστρον, διό σου τὴν μνήμην τὴν φαιδράν, ὑμνοῦμεν οἱ πιστοὶ πανευλαβῶς, ἡμῶν ἐκτενῶς ὑπερεύχου, τῷ θρόνῳ τῆς Τρισηλίου Θεότητος παριστάμενος· δόξα τῷ σὲ σθενώσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ δωρισαμένῳ σε ἡμῖν, πρέσβυν ἀκοίμητον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ